5. The bear, whenever [ὁπότε] it was pursued,[5] would climb up a [τις] tree, owing-to the flexibility of its[3] body. 6. The messengers would have announced the defeat, if they had not[1] been prevented. 7. The squire would have bequeathed his[3] property to the children, if[6] he had not[1] been deceived [indic.]. 8. The judges would have settled [κρίνω] the suit, if[6] it had been entrusted [ἐπιτρέπω, 2 aor. pass. indic.] to them.

[1] See Rule XLI. [2] See Rule L.
[3] See Rule IX. [4] See Rule XLII.
[5] Optative, because the clause is frequentative.
[6] See Vocab.

RULE XXXVII.

Ἄν is largely used with the Optative, when it converts the *wish*, expressed by the mood, into a *conditional* assertion.

For instance, it represents a polite or *conditional* imperative: as, χωροῖς ἂν εἴσω, 'go in, *if you please;*' a softened or *conditional* future: as, ἕψομαί σοι, καὶ οὐκ ἂν λειφθείην, 'I will follow you, and shall not, *I hope*, be left behind.' It also intimates general uncertainty: as, ταῦτα φθόνῳ οὐκ ἂν εἴποιεν, 'they would *hardly* have said this from jealousy:' ἀγοράσαις ἂν ἵππον, 'you can, *if you choose*, buy a horse;' and is often joined with ὡς, or ὅπως, to qualify, *conditionally*, the expression of a mode of action, of an aim, or of a result.

Exercise XXXVII.

Labial and Liquid Stems: Active Voice: Optative Mood.

I. Labials.

1. κρύψαις ἂν τὸ ἁμάρτημα, εἰ ἐμὲ φίλον νομίζεις. 2. οὐκ ἂν ἀμείψαιμι χρύσεα χαλκείων. 3. ἡ σὴ κακηγορία βλάψειεν ἂν τὴν ἡμετέραν φήμην. 4. βεβουλεύμεθα ὅπως ἂν ἄριστα [in the best way, *adverbial*] τὴν ἱστορίαν γράψωμεν. 5. ἕψομαί σοι, καὶ οὐκ ἂν καταλίποις ἐμέ.

II. Liquids.

6. τὸ θάρσος ἀμέλειαν ἂν καὶ ῥᾳθυμίαν ἐμβάλοι. 7. οὐκ ἂν κρίναις τὸν δίκαιον ἄνολβον. 8. οὐκ ἂν ὀτρύνοιμεν τοὺς στρατιώτας, μὴ ἐλπίζοντες[1] μάχην. 9. ἁμαρτάνοις ἄν, εἰ τῆς πατρίδος προδότης γίγνοιο.

[1] See Rule XLII.

10. ἐπεμελεῖτο ὁ νομοθέτης, ὅπως ἂν ἀρίστους ἀποφαίνοι τοὺς πολίτας.

I. LABIALS.

1. Perhaps the enemy may not send scouts. 2. I would willingly visit [ἀμείβειν] city after [ἐκ] city. 3. If we should seem to neglect a benefactor, by what arguments could we cajole others to favour us? 4. The maid had a robe through which her[1] beauty might best shine.[2]

II. LIQUIDS.

5. I would willingly complete the voyage. 6. You will not, I-am-sure [ἄν], decide the suit unjustly. 7. I would willingly protract the defence, if you wish. 8. The general took-care, in-order-that [ὅπως] he might, as-far-as-possible [ἄν], turn-out [ἀποφαίνω] his[1] soldiers brave (men).

[1] See Rule IX. [2] See Rule XII., N.B.

RULE XXXVIII.

Ἄν is similarly used with the Conjunctive Mood, when it belongs not so much to the verb, as to the particle—e.g. ὃς ἄν, ἕως ἄν, ὅπως ἄν, ὡς ἄν, πρὶν ἄν—governing the verb. Indeed, it often coalesces with the particle, as in ὅταν, ἐπειδάν, ὁπόταν, ἐάν, ἤν.

EXERCISE XXXVIII.

Labial and Liquid Stems: Active Voice: Conjunctive and Imperative Moods.

I. LABIALS.

1. ὅπου ἂν ἀποκρύψωσι τοὺς σκύμνους, ἐκεῖ αἱ

ἀλώπεκες εὑρήσονται. 2. *ῥᾳδίως μαθήσει, ἃ ἂν ἐγὼ ἀποκαλύψω.* 3. *οὐ μεταβαλεῖς, οἶμαι, τοὺς*[1] *τρόπους, πρὶν ἂν οἱ θεοί σε βλάψωσι.* 4. *φοβοῦμαι τὸν*[1] *πατέρα, ὁπόταν ἀντιβλέψω αὐτῷ.* 5. *εὔθυνον τὰς*[1] *πράξεις, ὡς ἂν ἐλαχίστοις τοῖς ἁμαρτήμασι περιπίπτῃς.*

II. Liquids.

6. *συμμαχεῖν τούτοις θέλουσι πάντες οὓς ἂν κρίνωσιν εὖ παρεσκευασμένους.* 7. *ἄγγειλον αὐτῷ πᾶν τὸ δρώμενον, ὅπως ἂν ἡμῖν πάντα τὸν λόγον ἀποφήνῃ.* 8. *μὴ κρίνε τὰς δίκας, πρὶν ἂν μάθῃς τὰ πεπραγμένα.* 9. *ὅσῳ ἂν ἀκριβέστερον τὰ πράγματα μάθητε, τοσούτῳ δικαιότερον ψηφιεῖσθε.* 10. *αἱ σπονδαὶ ἔσονται* [will last], *ἕως ἂν πόλεμον ὁ βασιλεὺς ἐγείρῃ.*

I. Labials.

1. Equip the expedition, when we have sent the soldiers. 2. Tyrants are-willing to do-wrong-with [*συναδικεῖν*] those, whom[2] they judge (to be) well armed. 3. The general doubts, in-what-direction he should wheel-back his[1] cavalry. 4. We fear not our[1] enemies, when we look-them-in-the-face [*ἀντιβλέπειν αὐτοῖς*].

II. Liquids.

5. In-order-that[3] you may judge well, listen. 6. If any of the slaves should be-ill [conj.], call a physician. 7. If I should prove [*φαίνω*] them thieves, the judges will punish them. 8. The king, whenever he musters an army, marches slowly, owing-to his multitudinous-forces.

[1] See Rule IX. [2] *ὃς ἄν.*

[3] *Ἵνα* is not used with the Conjunctive with *ἄν*, in a *final* sense: use *ὅπως ἄν.*

RULE XXXIX.

Ἄν is used with the present, aorist, and perfect infinitive, when it would have been used with the finite verb: as, *εἶπε ποιεῖν ἄν*, or *ποιῆσαι ἄν, ταῦτα*, he said he would do this: = *εἶπεν ὅτι ποιοίη ἄν*, or *ποιήσειεν ἄν, ταῦτα*, dixit se hæc facturum esse.

Εἶπε ποιῆσαι, or *πεποιηκέναι, ἂν ταῦτα*, 'he said he would have done this:' dixit se hæc facturum fuisse.

Similarly it is used with the Participle, as more terse than the finite verb: as, *ἴσθι ἐμὲ ποιοῦντα ἂν ταῦτα* = *ἴσθι ὅτι ποιοίην ἄν*· 'be assured that I will do this:' *ἴσθι ἐμὲ ποιήσαντα ἂν ταῦτα* = *ἴσθι ὅτι ἐποίησα ἂν ταῦτα*, 'be assured that I would have done this.'

EXERCISE XXXIX.

Labial and Liquid Stems: Active Voice: Verb Infinite.

I. LABIALS.

1. *ὁ Φίλιππος ἐνόμιζεν, εἰ τοὺς Ἀθηναίους ἀσθενεῖς ποιήσειε, πάντας ἂν τοὺς ἄλλους κατάστρεψαι.* 2. *ἔλεγε τὸν ἄγγελον γεγραφέναι ἂν τὴν ἐπιστολήν, εἰ μὴ ἠμποδίσθη.* 3. *ἡ τυραννὶς τοὺς ἀδικηθέντας, καὶ ἀδικεῖν οὐκ ἂν*[1] *θέλοντας, ἀθλίους ποιεῖ.* 4. *τὰ μήτε ὄντα μήτε ἂν γενόμενα οὗτος τετόλμηκε γράψαι.* 5. *ἠθύμησα, ὅτι οὐδείς μοι δοκεῖ τὰς τῶν θεῶν εὐεργεσίας ἀξίαις ἂν χάρισιν ἀμεῖψαι.*

[1] The force of *ἄν* would be given by rendering *τοὺς οὐκ ἂν ἐθέλοντας*, 'those who would not choose to oppress *if they could*.' Similarly *ἀποτέμνοντες ἂν τὰς κεφαλάς* may be construed 'cutting off their heads, *when they chose*.'

II. Liquids.

6. *οἱ βάρβαροι μαχαιρίῳ ἔσφαττον, ὧν κρατεῖν ἐδύναντο· καὶ ἀποτέμνοντες ἂν*[1] *τὰς κεφαλὰς ἐπορεύοντο.* 7. *οὐ δεῖ συμμάχους, ὑπὲρ ἡμῶν ὁτιοῦν ἂν ποιήσαντας, ἐὰν κάμνειν.* 8. *οἱ ἱππεῖς δῆλοι ἦσαν προσελαύνοντες ἄν, εἰ ἀπεχωρήσαμεν.* 9. *ὁ στρατηγὸς ἤλπισε τοὺς νησιώτας οὐκ ἂν περιορᾶν τὴν*[2] *γῆν τεμνομένην.* 10. *εὑρίσκω ταύτην μόνην ἂν γενομένην τῶν κακῶν ἀπαλλαγήν, ἐὰν θελήσωμεν τὴν δημοκρατίαν ἀναλαβεῖν.*

I. Labials.

1. Those who had left [*lit.* having left] their[2] ranks thought that they might escape, unless [*μή*] pursued. 2. When (there) is need [*καιρός*] of speed, we must not entrust (things) to those-who-may-be-slothful [*οἱ ῥᾳδιουργοῦντες ἄν*]. 3. Philip overlooked the other states, as probably [*ἄν*] unable to injure him. 4. Apart-from the disgrace which would-have-covered [*καλύψας ἄν*] us, we would not run-the-risk.

II. Liquids.

5. The man is dishonest, and (one) who-would-infer [*φέρων ἄν*] a subtle device from every fair speech. 6. We distinguish the pure pleasures from [*lit.* and] those which justly might-be-judged [*κριθεῖσαι ἄν*] impure. 7. They thought, if they should find the gates opened, that-they-might-kill [*ἀποκτείνω*, 1 aor. infin. with *ἄν*] all the citizens. 8. Philip thought that he might recover the city, if he should have those within [*οἱ ἔνδον*] friendly.

[1] See note on preceding page. [2] See Rule IX.

RULE XL.

Οὐ, μή.

Οὐ is a direct negative: μή is a dependent negative. Οὐ says a thing *is not*: μή says *one thinks it is not.*

Μή, with imperative[1] present, expresses a prohibition, generally and perpetually: as, μὴ κλέπτε, 'don't steal *at all*;' with aorist conjunctive, it expresses it momentarily, and with reference to a single act: as, μὴ κλέψῃς τοῦτο, 'don't steal *that.*'

Μή also expresses a negative wish, generally with the optative: as μὴ λέγοιμι, 'may I not say!'

Μή is generally used with the Infinitive: and this not only when a supposed case is put, but even when the Infinitive must be paraphrased by ὅτι οὐ with the finite verb.

[1] The French Academy, at Paris, when first founded, placed on its doors the following amusing solecism—οὐδεὶς ἄμουσος εἰσίτω.

EXERCISE XL.

Labial and Liquid Stems: Middle and Passive Voices: Indicative and Imperative Moods.

I. LABIALS.

1. μὴ τύπτε μηδένα, μήτε τύπτου. 2. μὴ κλέψῃς τοὺς τοῦ δεσπότου ἵππους, μὴ οἱ σοὶ ἵπποι κλεφθῶσι. 3. μὴ φεύγοιμι [may I not be a defendant in!] τοιαύτην δίκην! μᾶλλον ἂν ἐρρίφθην εἰς θάλατταν. 4. ἡ πόλις ἐπετράπη τῇ ὁρμῇ τοῦ δήμου, ὥστε μὴ τὰ δίκαια ψηφίσασθαι. 5. οἱ Ἀθηναῖοι ταῖς τῶν[1] προγόνων ἀρεταῖς προτρέπονται μὴ ἥττους εἶναι.

[1] See Rule IX.

II. Liquids.

6. *οἱ Θηβαῖοι, οὐκ ὄντες φιλότιμοι, οὐ παρωξύνοντο κινδυνεύειν ὑπὲρ τῆς*[1] *πατρίδος.* 7. *ἐπῆρται τὸ φρόνημα τῶν Ῥωμαίων ὥστε μὴ ἀπολειφθῆναι τῆς*[1] *ἀρχαίας δόξης.* 8. *μὴ θαυμάσῃς, εἰ κακὰ τεκμαίρομαι ἀπὸ τῆς τῶν πολεμίων ἐμβολῆς.* 9. *ἠλάθησαν οἱ ψιλοὶ ὑπὸ τῶν ἱππέων, ὥστε μὴ δύνασθαι ἐμμένειν ἐν τῇ*[1] *τάξει.* 10. *οἱ γέροντες ταῖς τῶν νέων*[2] *τιμαῖς οὕτως ἀγάλλονται ὥστε μὴ θέλειν ἀνανεοῦσθαι.*

I. Labials.

1. Owing-to the general, the army has been injured, so-that[3] the soldiers do not obey. 2. The messengers said that the scouts had not been sent. 3. Do not steal the horses: for your property will be stolen. 4. The listener is beguiled by the orator's arts, so-that[3] he does not abide by his opinion.

II. Liquids.

5. All were brightening their shields, so-as[3] not to be unprepared. 6. Be not ashamed [*αἰσχύνω* · 1 aor. pass. conj.] of poverty [accus.]: for it is the teacher of virtue. 7. It is announced that the suit has not been decided according to the laws. 8. They plumed-themselves [*ἀγάλλομαι*] so-much on their[1] victory [dat.], that[3] they came within-an-ace [*παρὰ μικρόν*] of being ruined [*σφάλλω*, 2 aor. pass. infin. with *μὴ* prefixed, according to Rule XLIII.].

[1] See Rule IX. [2] Objective gen.: see Rule XXXIV.
[3] *ὥστε*, with Infinitive: see Rule XLV.

RULE XLI.

Μή is used after conditional particles, such as εἰ, ἐάν, or ἤν· after the relative ὅς or ὅστις, when it is indefinite, as ὃς μὴ ποιεῖ ταῦτα, si quis non facit hæc, 'any one who doth not this;' after Conjunctions of Place or Time, such as οὗ ἄν, ὅπου ἄν, ἐπειδάν, ὅταν, ὁπόταν, coupled with a Conjunctive mood: or ὅπου, οὗ, ὅτε, ὁπότε κ.τ.λ., coupled with an Optative, without ἄν.

Οὐ is used with the Indicative after the Relative ὅς or ὅστις, when it is *definite*: as ὃς οὐ ποιεῖ ταῦτα, is qui non facit hæc, 'he who does not this;' with the Optative coupled with ἄν· as οὐδεὶς ὅστις οὐκ ἂν λέγοι, 'there is no one who would not say;' and after conjunctions signifying a *fact*: such as ὡς, ὅτι, *that*: ἐπεί, ἐπειδή, *since*: or *the time when*: such as ὅτε, with an Indicative mood.

EXERCISE XLI.

Labial and Liquid Stems: Middle and Passive Voices: Optative and Conjunctive Moods.

I. LABIALS.

1. οἱ στρατιῶται, εἰ μὴ δύναιντο ἐς τὰς ναῦς ἀποφυγεῖν, λειφθεῖεν ἂν ἔρημοι. 2. τίς τερφθείη ἂν ῥήτορσιν, οἳ ἂν μὴ τὰ ἀληθῆ λέγωσιν; 3. εἰ μὴ φθερεῖ ἐκ τῆς οἰκίας, τάχα ἂν ἀπορριφθείης. 4. τίς μέμψαιτό μοι, γυναῖκα ὀνομάσαντι τὸν στρατηγόν, ὅστις οὐ στρατεύεται; 5. ὑπ' ἐλεφάντων, ὅταν μὴ διώκωνται, οὐδεὶς ἂν βλαφθείη.

II. LIQUIDS.

6. ὅταν ὁ πόλεμος μηκύνηται, πολλὰ κινδυνεύεται. 7. ἠμφισβήτουν, εἰ ἡ στρατεία περανθείη, εἰ μὴ τοὺς ἱππέας νικήσοιεν. 8. οὐδείς ἐστιν ὅστις οὐκ ἂν ἀγάλ-

λοιτο ταῦτα ἀκούσας. 9. ὁ στρατηγὸς ἔλεγεν ὡς οὐκ ἀγγελθείη[1] ὁ βασιλεὺς τετελευτηκώς. 10. οἱ στρατιῶται, ὁπότε μὴ ἀμύνοιντο τοὺς πολεμίους, τὰ ἐπιτήδεια ἐπορίζοντο.

I. LABIALS.

1. There is no one who would not relent [κάμπτω, aor. pass. opt.], on-hearing [ἀκούω, aor. partic.] this. 2. You are ungrateful, if[2] you do not requite [ἀμείβομαι, aor. mid. conj.] your[3] benefactors with equivalents [dat.]. 3. The decrees will not be valid, unless[2] they are registered [ἐγγράφω, perf. pass. conj.].

II. LIQUIDS.

4. The business cannot be completed [περαίνω] by the envoys. 5. Unless some disaster should be announced, tho ships will sail. 6. I should be-ashamed, if[2] I should not appear [φαίνω, 2 aor. pass. opt.] to care for the public safety. 7. Unless the suit should be decided according to the laws, it will not satisfy the people.

[1] The Optative is used because the clause is indirect.
[2] See Vocab. [3] See Rule IX.

RULE XLII.

Μή is used with the Participle, when it is conditional: i.e. when it is resolvable into εἰ with a finite verb: as, μὴ ἐάσας = εἰ μὴ εἴασε, 'if he had not allowed it:' οὐ is used, when the participle is resolvable into ὅτι, ὡς, ἐπεί, ὅς, with finite verb: as, οὐκ ἐάσας, 'because, since, etc. he had not allowed' = ὅτι, ἐπεί κ.τ.λ. οὐκ εἴασε.

Μή is used, as a negative particle, with ἵνα, ὡς,

ὅπως κ.τ.λ., or alone [as a final conjunction], in clauses expressing *purpose*, *tendency*, *result*, etc., *fear*, *caution*, *reflection*, etc.; sometimes with an Indicative, when the speaker implies that the thing has or will come to pass, or is coming to pass, as, δέδοικα μὴ γενήσεται, 'I fear it will happen:' φοβούμεθα μὴ ἡμαρτήκαμεν, 'we fear we have missed;' otherwise, with the Conjunctive or Optative, according to the rule of the Consecution of Tenses [see Exercise XII., N.B.]: as, ἔδεισα μὴ ἔλθοι, 'I feared lest he should come:' δέδοικα μὴ ἔλθῃ, vereor ne veniat, je crains qu'il ne vienne, 'I fear lest he should come:' δέδοικα μὴ οὐκ ἔλθῃ, vereor ut veniat, je crains qu'il ne vienne pas, 'I fear lest he should not come.'

Exercise XLII.

Labial and Liquid Stems: Middle and Passive Voices: Verb Infinite.

I. Labials.

1. ὁ βασιλεὺς πάντα διεπράξατο, οὐκ ἐάσας οὐδὲν ἐπιλείπεσθαι. 2. εἰ μὴ ᾠόμην ἐν τοῖς θεοῖς τερφθήσεσθαι, ἥμαρτον ἂν μὴ ἀγανακτήσας τῷ θανάτῳ. 3. χρὴ ἀναβιβάζειν ἐπὶ τὸν τροχὸν τοὺς δούλους τοὺς ἀναγραφέντας [denounced], ὅπως μὴ τὴν δίκην φεύξονται. 4. ἡμεῖς, λειφθέντες ἔρημοι, φοβούμεθα, μὴ ἀμφοτέρων τῶν ἀγαθῶν [advantages] ἡμαρτήκαμεν. 5. ἐδείσαμεν, μὴ οἱ νοσοῦντες, ὡς ἀπερριμμένοι [outcasts], ἐς ὀλιγωρίαν τῶν ἱερῶν καὶ ὁσίων ὁμοίως τράποιντο.

II. Liquids.

6. ὁ στρατηγός, οὐ παραινέσας προθύμως πολεμεῖν, παρὰ μικρὸν ἦλθε μὴ σφαλῆναι. 7. ὁ βασιλεὺς στρατιώτας ἔταξε, μὴ ἡ πόλις διαφθαρείη. 8. ὁ στρατηγὸς ἱππέας τάξει, ὅπως μὴ ἡ πόλις διαφθάρῃ. 9. μὴ

φοβοῦ, τὴν ἀρετὴν πρόβλημα προβεβλημένος,[1] *μή σε συμφορά τις ἁρπάσῃ.* 10. *μαθητέα ἐστὶν ἡ ῥητορική, ὅπως μὴ ἐν τοῖς δικαστηρίοις σφαλώμεθα.*

[1] See Rule XV., N.B.

I. Labials.

1. Among [*lit.* of] soldiers, those [*οἱ*] not grown fat [*ἐς πολυσαρκίαν τεθραμμένος*, perf. pass. of *τρέφω*, 'to rear'] march best. 2. Of the horsemen those not worn-out by want-of-food, betook-themselves [*τρέπω*, 2 aor. mid.] to flight. 3. Philip, having subjugated Thebes, feared not lest the Athenians should go-to-war. 4. The cavalry being wheeled-back [gen. abs.] in a narrow-space, fear held many lest they should be disordered.

II. Liquids.

5. He does not like to answer, in-order-that he may not be compelled to confess souls (to be) immortal. 6. They say that despots take-care, that their subjects be not virtuous. 7. He proclaimed that those [*οἱ*] of the citizens who had not grown-old, should embark in the ships. 8. The march having been completed [gen. abs.], those [*οἱ*] of the soldiers not being-healthy, were conveyed home.

SECOND CONJUGATION.

Verbs in Μι.

[P. pp. 66–78: A. pp. 105–121: C. pp. 70–75; 91–101.]

All verbs in Μι are divided into two classes:[1]

I. Those which in the Present join their terminations directly to the stem: as φη-μί, stem φα: τί-θη-μι, stem θε: ἵσ-τη-μι, stem στα: δί-δω-μι, stem δο: ὀ-νί-νη-μι, stem ονα: πί-μ-πλη-μι, stem πλα: πί-μ-πρη-μι, stem πρα: ἵ-η-μι, stem ἑ: εἶμι, stem ἰ: εἰ-μί, stem ες: κί-χρη-μι, stem χρα, etc.

II. Those which form the Present-stem by adding νυ to the Pure stem: as δείκ-νυ-μι, stem δεικ [Curtius, p. 91].

[1] The classification of Messrs. Abbott and Curtius has been adopted here, in preference to that of Mr. Parry, who, p. 74 seqq., classifies ἵημι, εἶμι, εἰμί, φημί, on the old principle, as irregular verbs in Μι.

RULE XLIII.

Μή is often added pleonastically to the Infinitive, as in vulgar English, especially after verbs of *forbidding, mistrusting, preventing, denying, fearing, doubting*, etc.: as εἶρξαν αὐτοὺς μὴ χρῆσθαι τῇ θαλάττῃ, 'they restrained them from the traffic of the sea.' Comp. the French idiom—Je crains que la maladie *ne* soit mortelle.

Μὴ οὐ is used instead of μή, with participles as well as Infinitives, when a negative, or an equivalent to a negative, precedes: as, οὐκ ἂν πιθοίμην μὴ οὐ τάδ' ἐκμαθεῖν σαφῶς· δυσάλγητος ἂν εἴην, μὴ οὐ τοιάνδε κατοικτείρων ἕδραν, where δυς implies a negative.

Οὐ μή, with the 2nd person of the Fut. Indic., is interrogative in form, and prohibitive in sense: e.g. οὐ μὴ δυσμενὴς ἔσει φίλοις, which = οὐ δυσμενὴς ἔσει φίλοις, μή; 'you shall not be hostile to friends, shall you?'

Οὐ μή, with the other persons of the Fut. Indic., and with the Aorist, rarely the Present, Conjunctive, is elliptical in form, and forcibly negative in sense: e.g. οὔ σοι μὴ μεθέψομαί ποτε, 'I will never follow you,' which = οὐ δέος ἐστὶ μή κ.τ.λ. καὶ τῶνδ' ἀκούσας οὔ τι μὴ ληφθῶ δόλῳ, 'now that I have heard this, there is no fear of my being caught by stratagem.'

Exercise XLIII.

Verbs in Μι.

First Class: Indicative and Conjunctive Moods: Active Voice.

1. ὁ ἄγγελός φησι τὸν λῃστὴν μικρὸν ἀποφυγεῖν τὸ μὴ καταπετρωθῆναι. 2. οἱ νομοθέται νόμον ἔθεσαν εἴργοντα τοὺς πολίτας μὴ χρῆσθαι τῇ θαλάττῃ. 3. οὔ φημι ταῦτα μὴ οὐχ οὕτως ἔχειν. 4. οἱ Ἀθηναῖοι τὰ μακρὰ ἀνέστησαν [1 aor.] τείχη, κωλύσοντες τοὺς πολεμίους μὴ κρατῆσαι τῆς ἐφόδου τῆς πόλεως. 5. οὐ μὴ μεθήσεις αὖθις αἰσχίστους λόγους; 6. οὐ μὴ θῶμεν νόμους ἐναντίους τῷ δήμῳ. 7. οὐ μὴ ἀφήσεις τοῖς ἐπιτρόποις τὰς δίκας [your rights of action]; 8. οἱ πολῖται οὐ μὴ ἐπιτρέψωσιν ὑμῖν, εἰ ἀνήσετε [let off] ἄνδρα φανερῶς τὴν δημοκρατίαν λυμαινόμενον. 9. οἱ Θηβαῖοι ἀφιᾶσι τὰς πόλεις αὐτονόμους, οὐ κωλύοντες μὴ οὐ χρῆσθαι τοῖς ἑαυτῶν νόμοις. 10. ὁ στρατηγὸς ἐμποδὼν ἦν αὐτοῖς μὴ τοῦ δήμου προεστάναι [shortened form of προεστηκέναι· see προίστημι].

1. Do you say, or do you deny, that you have done [δράω, perf. infin.] this? 2. Go [imperat. pres. of εἶμι], soldiers, to-engage [ἐς χεῖρας, with dat.] the enemy, to-hinder [κωλύω, partic. fut. agreeing with 'soldiers'] them from-invading [ἔπειμι, pres. infin.] the country. 3. You shall not give-way to loud laughter. 4. You shall not propose a law opposed to liberty. 5. If we conquer, the enemy will never send-forth [ἐφίημι, 2 aor. conj.] his cavalry into our country. 6. They refused [οὔ φημι] to march, unless the moon was full [*lit.* the moon not being full, gen. abs.]. 7. The gods give nothing to men without toil, to-hinder[1] them from enjoying [ἀπολαύω, aor. infin.] any blessing without labour. 8. We say that [ὅτι] it is not fair that the Athenians should not suffer punishment.

[1] See Ex. II. above.

THE VERB INFINITE.

RULE XLIV.

The Infinitive is a verbal-noun. Thus, τὸ φιλεῖν means 'loving' or 'love:' and nearly =φιλία, though less abstract: while it retains its verbal nature, as is shown by its governing its case: as, τὸ φίλους φιλεῖν, 'loving friends:' or, 'the love of friends.'

While the Latin Infinitive [see L. P. § 140] can only be used as a noun in the nom. and accus. cases, the Greek Infinitive, combined with the article, serves as the gen. and dat. also; as τοῦ φιλεῖν, 'of loving:' τῷ φιλεῖν, 'by loving:' thus answering to the Latin gerunds *amandi* 'of loving,' *amando* 'by loving.'

It can also be combined with prepositions; as,

πρό, ἄνευ, ἀντί κ.τ.λ. τοῦ ἀδικεῖν, 'before, without, instead of, etc., wrong-doing.'

Exercise XLIV.

First Class of Verbs in Μι.

Active Voice: Optative, Conjunctive, Imperative Moods: Verb Infinite.

1. *φαίης ἂν ὀρθῶς, ὅτι τὸ θεῖναι νόμους οὐχ ὅμοιόν ἐστι τῷ θέσθαι νόμους.* 2. *μετὰ τὸ ἡττῆσθαι* [after being defeated] *οἱ πολέμιοι ἔφασαν ὅτι ἀπίοιεν ἂν ἐκ τῆς χώρας, εἰ οἱ Ἀθηναῖοι διδοῖεν ἀσφάλειάν σφισι μετὰ τῶν ὅπλων ἀπιοῦσι.* 3. *ἐν τῷ ἀφεῖναι τὸν πέντε υἱοὺς παρασχόμενον τοῦ λειτουργεῖν, ὁ νομοθέτης ἐπῄνεσε τὴν πολυπαιδίαν.* 4. *πολλοί, μετὰ τὸ ἀκουσίως τὰ ἴδια ἀφῃρῆσθαι,*[1] *προσποιοῦνται τὰ χρήματα ἑκουσίως δεδωκέναι.* 5. *μέχρι τοῦ ξυνάψαι μάχην, πολλοὶ ἐξ ἀμφοτέρων τῶν στρατευμάτων προσιόντες ἀλλήλοις διελέγοντο.* 6. *τῷ στῆσαι* [aor. 1] *χαλκοῦν ἐν τῇ ἀγορᾷ Σόλωνα, τοὺς νομοθέτας ἡ πόλις εἰς ἀεὶ ἐτί, μησεν.* 7. *ἐν τῷ στῆναι* [aor. 2] *ἐν τῇ ἀγορᾷ χαλκοῦς*[2] *ὁ Σόλων εἰς ἀεὶ τετίμηται.* 8. *ἀπαλλαγὴν ἡμῖν δότε τῶν κακῶν διὰ τὸ τοὺς προδότας ἐξελάσαι.* 9. *ὁ δοῦλος, μετὰ τὸ δεδέσθαι ἐν τῷ ξύλῳ* [the stocks], *ἐν τῷ δέρματι ἔλεγχον ἂν δοίη.* 10. *διὰ τὸ πολὺν χρόνον γεγενῆσθαι μετὰ τὴν πρεσβείαν, δέδοικα μή τις ὑμᾶς λήθη ἐπίῃ.*

[1] See Rule XV., N.B. [2] See Rule XLVI.

1. This-man, trying-to-escape [*φεύγω*, partic. pres.] punishment [*τὸ δοῦναι δίκην*], offered [*δίδωμι*, imperf.][1] 50 drachmas to the judges. 2. Before fighting, it was announced that [*ὅτι*] the army of the allies was ap-

[1] See Rule L.

proaching.[1] 3. The Lacedæmonians had been compelled to bear-hardships, which [ὅπερ] was the cause of (their) readily encountering [ὑφίστημι, 2 aor. infin.] dangers. 4. To miss [παραλλάττω, 1 aor.][2] the mark, when-aiming [ἐφίημι, pres. partic. accus.] an arrow, is a sign[3] of a poor [φαῦλος] archer. 5. By making [ὑποτίθημι, 2 aor. infin. with article] himself surety, he managed [διαπράττω, 1 aor. mid.] the business. 6. The young endure travels, with-a-view-to [ἐπὶ τῷ] improve[4] their[5] minds. 7. Instead of raising [ἵστημι, infin. pres.] a trophy, they were defeated. 8. The existing [πάρειμι, partic. pres.] war, apart-from [ἄνευ] not involving [φέρω, infin. pres.] an honourable repute, is excessively expensive.

[1] Optative, because the clause is indirect.
[2] See Rule XXXIII.
[3] See Rule XXVIII.
[4] See Vocab.
[5] See Rule IX.

RULE XLV.

The Greek, like the English, but unlike the Latin, Infinitive, is used *finally*: i.e. to express *purpose* or *tendency*: as, ἔδωκά σοι τὴν πόλιν οἰκεῖν, 'I gave you the city to live in:' where in Latin prose we must use the supine *habitatu*, or the gerund *ad habitandum*, or a periphrasis, such as *quam habites*.

Ὥστε or ὡς are often used to make the meaning clearer: as, πάντα ποιοῦσιν ὥστε δίκην μὴ διδόναι, 'they are trying every device to avoid punishment.'

Similarly Infinitives, active or passive, are used to qualify adjectives, whether positive, comparative, or superlative: as δεινὸς λέγειν, 'clever in speaking:' ἀνὴρ χαλεπώτατος συζῆν, 'a man most tiresome to live

with:' *νόσημα μεῖζον ἢ φέρειν*, 'a malady too severe to endure,' morbus gravior quam ut toleretur.

Exercise XLV.

First Class of Verbs in Μι.

Active Voice: Optative, Conjunctive, Imperative Moods: Verb Infinite—(*continued*).

1. *τοὺς θεούς φασι δεδωκέναι τὰς τέχνας πορίζειν ἀγαθὰ ἀνθρώποις.* 2. *εἴ τινα καταστήσαιμεν κυβερνᾶν, μὴ ἐπιστάμενον, κίνδυνος ἂν εἴη τοῖς ναύταις.* 3. *ὁ δεσπότης οὐκ ἐβούλετο ἐκδοῦναι τὸν δοῦλον βασανίσαι.* 4. *οἱ πρόγονοι, τὴν βουλὴν* [senate] *ἐπιστήσαντες ἐπιμελεῖσθαι τῆς εὐκοσμίας, ὀρθῶς ἔπραξαν.* 5. *ἡ ἀνθρωπίνη φύσις ἀσθενεστέρα ἐστὶν ἢ ὥστε νόμους θεῖναι ἀϊδίους.* 6. *ἤκουόν τινων ὡς οὐδὲ τὰς ἀγορὰς ἔτι Φιλίππῳ δώσοιεν καρποῦσθαι.* 7. *ἆρα ἂν δοίης ἐμοὶ τὰ βιβλία φυλάξαι;* 8. *ἴσως ἂν διδοίη τὸ βρέφος βουκόλῳ ἐκθεῖναι.* 9. *οἱ τύραννοι ἱκανοί εἰσιν ὀνῆσαι μὲν τοὺς φίλους, κακῶσαι δὲ τοὺς ἐχθρούς.* 10. *ὁ στρατηγὸς στρατιώτας ἔπεμψεν ἐμπιπράναι τὴν πόλιν.*

1. Traitors are fearfully-able [*δεινός*] to infect [*ἀναπίμπλημι*] a state with distrust.[1] 2. Dogs are quick to go-after the traces of the hare. 3. Whenever we wish to send-out [*ἐκτίθημι*, 2 aor. infin.] children to educate, we entrust them not to the intemperate. 4. Pleasures are fearfully-able to render [*διατίθημι*] the young too-effeminate [*μαλακός, positive*] to hold-out against grief. 5. They said that [*ὅτι*] they would give-up [*παραδίδωμι*, 2 aor. opt.] to them the city to live-in. 6. The affairs of the state are hard to manage. 7. Fate seems to have given to the Romans to control

[1] See Rule XXXIII.

the civilised world. 8. He said that he would-give [fut. infin.] to us the fields to enjoy.

RULE XLVI.

If the subject of the Infinitive and that of the principal verb are the same, the nom. case is usually retained before the Infinitive; otherwise, the accus. is used: as, *ἔφη αὐτός, οὐκ ἐκείνους, στρατηγεῖν,* '*he* declared that *he*, not *they*, had supreme command.'

The same rule applies to the Participle, when used, idiomatically, after verbs of *sense* [see Rule XLVII.] in place of the Infinitive: as, *ἑώρων οὐ κατορθοῦντες, καὶ τοὺς στρατιώτας ἀχθομένους,* '*they* saw that *they* were not prospering, and that the soldiers were discontented;' *οἶδα θνητὸς ὤν,* 'I know that I am mortal:' which is more terse than *οἶδά ἐμε θνητὸν ὄντα.*

The Infinitive is often used, without a governing word, to express a *wish*, a *command*, an *entreaty*, an *exclamation*: as, *μή με δουλείας τυχεῖν,* 'may slavery not be my fate!' *γυμνὸν σπείρειν,* 'sow, lightly clad:' *ἐμὲ παθεῖν τάδε!* 'to think that I suffered this!'

Exercise XLVI.

First Class of Verbs in Μι· *Middle and Passive Voices. The Moods and the Verb Infinite.*

N.B. The deponent verbs *ἔραμαι, ἐπίσταμαι, δύναμαι, κρέμαμαι, ἄγαμαι,* and some others, belong to the first class of verbs in Μι.

1. *νόμιζε γαμήσας δοῦλος ἔσεσθαι διὰ βίου.* 2. *οἱ φιληδεῖς οὕτω φροντίζουσι τῶν πενήτων ὥστε αὐτοὶ ἡδέων ἐμπίπλασθαι.* 3. *οἱ νησιῶται ἐβούλοντο τὴν*

πόλιν παραδίδοσθαι τοῖς Ἀθηναίοις, ὥστε αὐτοὶ τυραννεῖν. 4. ἐπειδὴ ἠπίστατο τοὺς πολίτας μισοῦντας[1] τοὺς ὀλίγους,[2] συνέθετο ὅπως [in what manner] δέοι ἐπιθέσθαι αὐτοῖς. 5. κατὰ τὸν μῦθον, ἀποφυγόντος τοῦ ἐλάφου,[3] ὁ ἵππος ἤσθετο οὐκ ἀφειμένος,[1] ἀλλὰ δεδουλωμένος τῷ κυνηγέτῃ.[4] 6. ὁ Ἀλέξανδρος, φάμενος εἶναι Διὸς υἱός, πολλοὺς ἔψευσε. 7. ὑμεῖς οὐκ αἰσθάνεσθε τῶν ἀναγκαίων γυμνασίων μεθιέμενοι,[1] καὶ τοὺς πολεμίους συγκεκροτημένους[1] τὰ τοῦ πολέμου. 8. τοῦτον ὑβρίζειν, ἀναπνεῖν δέ! καὶ νόμους θέσθαι! 9. ἐμὲ τοὺς ἵππους ἀποδόσθαι τοῦ εὑρίσκοντος![5] 10. πρῶτον τοῦτο προσίεσθαι [believe], ὅτι τῇ πόλει Φίλιππος πολεμεῖ.

[1] See Rule XLVII. [2] See Rule VI.
[3] See Rule XXXV. (*b*). [4] See Rule XXI. (*a*).
[5] See Rule XXXI.

1. The general felt [*αἰσθάνομαι*, aor.] that he was-ill[1] [pres. partic.], and that the soldiers were-exhausted[1] by disease. 2. Will you not understand that you are-throwing-away[1] [partic. pres. mid.] opportunities, and that Philip is-being-aggrandised[1] [pres. partic. pass.] thereby? 3. Those [*οἱ*] in the Acropolis, seeing that they were[1] few, decamped. 4. He retired, saying [partic. pres. mid. *φημί*] that not he [*αὐτός*], but they [*ἐκεῖνος*], had supreme command. 5. When the cavalry were-obviously [*δῆλός εἰμι*] approaching, the prisoners were set-free [1 aor. pass.] by the robbers. 6. I perceived that the hyæna was-longing[1] for flesh-diet.[2] 7. The idea of my not being able [*lit.* that I should not be able!] to settle the estate! 8. O Jupiter, may it be my lot[3] to benefit my[4] friends!

[1] See Rule XLVII. [2] See Rule XXIX.
[3] See Vocab. 'lot.' [4] See Rule IX.

RULE XLVII.

Instead of the Infinitive, which is used in Latin prose, the following verbs are in Greek construed with the Participle :—

I. Verbs of *knowing*, *forgetting*, *remembering*, such as *οἶδα*, *λανθάνομαι*, *μέμνημαι*.

II. Verbs of *appearing*, *proving*, etc., such as *φαίνομαι*, *ἐλέγχομαι*, *δῆλός εἰμι*·

III. Verbs of *rejoicing*, *contentment*, *shame*, *repentance*, and other emotions, such as *ἥδομαι*, *ἀγαπῶ*, *αἰσχύνομαι*, *μεταμέλομαι* *κ.τ.λ.*

IV. Verbs of *permitting*, *enduring*, *persevering*, *continuing*, *ceasing*, *beginning*, and other states, e.g. *περιιδεῖν*, *ἀνέχεσθαι*, *διατελεῖν*, *λήγειν*, *παύεσθαι*, *ἄρχεσθαι κ.τ.λ.*, as, for instance, *ἥδομαι*, *ἀγαπῶ*, *αἰσχύνομαι*, *διατελῶ*, *παύομαι*, *ἀπείρηκα κ.τ.λ.* *ξυνὼν τοῖς ἑταιροῖς*, 'I am pleased, contented with: ashamed of: I persevere in: I cease from: I have given up: associating with my comrades.'

A participle is often used with *τυγχάνω*, *λανθάνω*, *φθάνω*, instead of an infinitive: as, *ἔτυχον παρόντες*, 'they chanced to be present:' *ἔλαθεν ἐκείνους παρών*, 'he was there, unobserved by them,' *lit.* he escaped them being present: *οὐκ ἂν φθάνοις λέγων*, 'you can't tell me too soon:' *lit.* you cannot be too quick in telling me: *ἔφθην αὐτὸν ἐλθών*, 'I arrived before him:' *lit.* I anticipated him in arriving.

N.B. Many of these verbs take an Infinitive, but in a different sense. Thus *φαίνομαι εἶναι* means 'I seem

to be:' *φαίνομαι ὤν*, 'I manifestly am:' *ἐπίσταμαι θεοὺς σέβειν*, 'I know how to honour the gods:' *ἐπ. θεοὺς σέβων*, 'I know that I honour the gods.'

Exercise XLVII.

First Class of Verbs in Μι · Middle and Passive Voices: the Moods and the Verb Infinite—*continued.*

1. *ὁ Φίλιππος οὐ παύσεται τῆς ἀρχῆς ἐφιέμενος.* 2. *οὗτοι δῆλοί εἰσι κακῶς διαθέμενοι τὴν οὐσίαν.* 3. *μὴ προώμεθα τὰς πόλεις τοῖς προδόταις, μήτ' ἀναιρεθείσας περιορῶμεν.* 4. *διὰ τὴν ἰσχὺν ἡ ἄρκτος ἐπιτίθεται τοῖς ἀγρίοις ὑσίν, ἐὰν δύνηται λαθεῖν ἐπιπεσοῦσα.* 5. *ἡ κόρη ἐλελήθει προσιεμένη τὸν ἐραστὴν εἰς τὴν ὁμιλίαν.* 6. *ὁ δοῦλος ὁ κρεμασθεὶς δῆλος ἦν ἐλεγχθεὶς λῃστής.* 7. *ἡ οἰκία ἔλαθεν ἐμπρησθεῖσα.* 8. *νόμιζε ταῖς εὐεργεσίαις χάριν τιθέμενος.* 9. *οὐδὲν προτερήσεις, αὐτὸς σαυτῷ νόμον ὑβριστικῶς θέμενος, ἔξω τοῦ ἐφθακέναι ἀδικῶν.* 10. *ἡ κόρη ἔτυχεν ἐρασθεῖσα νεανισκοῦ τινός.*

1. Relax [*μεθίημι*, imperat. pres. mid.] your anger [gen.], for the master has manifestly repented [*φαίνομαι*, followed by 1 aor. pass. partic. of *μεταμέλομαι*] his outrage [gen.]. 2. I heard that the prisoners had been dismissed [*ἀφίημι*, perf. pass. partic.] into their country. 3. Instead of raising-for-yourselves [*ἵστημι*, 1 aor. mid. infin.] a trophy, you will shortly comprehend that you are defeated. 4. The youth, unable to pay-in-full his debts, was not ashamed (of) buying many-things. 5. I will not endure to see the city burnt [*ἐμπίπρημι*, 1 aor. pass. partic.]. 6. You cannot be-too-quick (in) buying the horse. 7. The general was-beforehand (in) embarking, that [*ἵνα*] he might attack [2 aor. opt. mid.] the

islanders. 8. It escaped not the people of Athens that the cities were being burnt [*lit.* the cities being burnt escaped not the people, etc.].

RULE XLVIII.

The Greek Participle is used, with even more freedom than the Latin participle, gerunds and supines combined, to express various accessory notions: such as Time, as *τελευτῶν ἀφίκετο*, 'at last he arrived:' Manner, as *γελῶν ἔφη*, 'he said with a smile:' Condition, as *κακὰ δράσας κακὰ πείσει*, 'if you do evil, you will suffer ill:' Purpose, as *οὐκ ὀμούμενοι ἐπέμφθησαν*, 'they were not sent to take oaths:' Concession, as *ὀλίγα δυνάμενοι προορᾶν, πολλὰ πράττομεν*, 'though able to foresee few things, we attempt to transact many:' Cause, as *τί παθὼν* or *τί μαθών, τοῦτ' ἐποίησας;* 'what induced you to do this?'

Qualifying particles, such as *καίπερ*, 'though,' *μεταξύ*, 'while, *ὡς*, 'on the ground that,' *ἅτε, οἷα*, 'because,' *εὐθύς*, 'directly,' 'at the moment that:' are often used to clear the meaning: as, *μεταξὺ δειπνῶν*, 'while dining:' *ἅτε παῖς ὤν*, 'as he was a boy:' *εὐθὺς ἰδών*, 'the moment he saw:' *ὡς ἀδικηθείς*, 'because he was wronged.'

Many such participles are used adverbially: as, *φθάσας, ἀνύσας*, 'quickly:' *χαίρων*, 'scot-free,' 'with impunity:' *λαθών*, 'secretly;' or as equivalents for English prepositions: as, *φέρων, λαβών, ἄγων*, 'with:' as, *οἴχεται λαβὼν τὸν παῖδα*, 'he is gone with the boy:' *χαίρων ἀπήλλαξεν*, 'he got off scot-free.'

Exercise XLVIII.

First Class of Verbs in Μι · Middle and Passive Voices: Moods and Verb Infinite—*continued.*

1. οὐχ ἥδεσθε χάριν θησόμενοι [cause] παρ' ἀνδρὶ δυνατωτάτῳ; 2. φαύλως πολιτευόμενοι [cause] τὰς ἡμετέρας βουλὰς ἀκύρους ἔθεσθε. 3. τῆς ὕστριχος διωκομένης [time] αἱ τρίχες, ὥσπερ ἔκ τινος ἀφειμέναι νευρᾶς, ἐκπηδῶσιν. 4. οὐδείς, τὰ τῆς πόλεως πράγματα κακῶς διαθέμενος, χαίρων [manner] ἀπαλλάξει. 5. λέουσι καὶ ἄρκτοις οὐκ εἰς τὸ ἴσον καθιστάμενοι [manner] μαχόμεθα. 6. τοσαύτη προὶξ οὐκ ἂν δοθείη τῇ γυναικί, ὀλίγης οὔσης [condition] τῆς οὐσίας τοῦ πατρός. 7. τί ἄλλο τὶς ὄνομα θεῖτο τῷ πρεσβευτῇ, μὴ ψευσάμενος [condition]; 8. τιθέσθω τοὺς νόμους ἑκάστη ἡ ἀρχὴ πρὸς τὸ συμφέρον σκοποῦσα [purpose]. 9. φίλον ἂν ἐκεῖνον θείμην ἐμαυτῷ, καίπερ δυσμενῶς ἔχοντα [concession] τῇ πατρίδι. 10. γέρας διδόσθω τοῖς στρατιώταις, μὴ ἀποφυγοῦσι [condition] τοὺς τοῦ πολέμου κινδύνους.

1. We fixed another day for the trial [dat.], by-agreement [aor. partic. of *συγχωρεῖν*]. 2. I would not give [*τίθημι*, opt. pres. mid.] this vote, unless [*μὴ*] compelled. 3. Elatēa having been stormed [perf. pass. partic. gen. abs.], the Athenians, starting-up [aor. 2 partic. act.] in-the-midst-of dinner, rushed [*ἵημι*, imperf. mid.] into the assembly. 4. The Athenians were standing[1] near, supposing the enemy would halt [*ἅτε*, with fut. mid. partic. of *ἵστημι*, gen. abs.], when they came within [*εἰς*] shot. 5. The people, observing [*μανθάνω*, aor. 2 partic.] the occurrence, shout that the man and

[1] *εἱστήκειν*, pluperf., has the force of an Imperfect, just as *ἕστηκα* has the force of a Present.

the lion should at-once-be-set-free [*ἀφίημι*, perf. pass. infin.]. 6. The soldiers grieved, because [*ὡς*] they-were-to-relinquish [*μεθίημι*, fut. mid. partic.] their booty. 7. A politician would not do these things, (if) likely to settle [*τίθημι*, fut. mid.] affairs honourably. 8. Summoning [*ἀνίστημι*, partic. 1 aor. mid.] our witnesses, we went into the court-of-law.

RULE XLIX.

Verbals in *τός*, *τέος*, *τέα*, are used (1) Personally, like the Latin gerundive: as, *ἀσκητέα ὑμῖν ἐστιν ἡ ἀρετή*, virtus est colenda vobis, 'virtue ought to be practised by you;'

(2) Impersonally, either in singular or plural, governing the case of their verbs: as, *ἀσκητέον*, or *ἀσκητέα*, *ἐστὶν ὑμῖν τὴν ἀρετήν*, *ἐπιθυμητέον ἐστὶν ὑμῖν τῆς ἀρετῆς*, 'you ought to practise, to desire, virtue.' Both constructions may occur in the same sentence.

Exercise XLIX.

Second Class of Verbs in Μι: *Active Voice.*

1. *τοῖς προδόταις ταῦτα ποιοῦσιν οὐκ ἐπιτρεπτέα ὑμῖν ἐστιν, ἀλλὰ διωκτέοι εἰσίν, ὡς αὐτίκα δείξω.* 2. *πολλὴν δὴ τὴν μετάστασιν, καὶ μεγάλην δεικτέον τὴν μεταβολήν.* 3. *λεκτέον ἐστίν, ὅτι αἱ μὲν ἄλλαι πόλεις ἤδη ὀμωμόκεσαν ἐμμενεῖν τῇ εἰρήνῃ, οἱ δὲ Θηβαῖοι ὤμνυσαν ἐμπεδώσειν τὸν ὅρκον, ἀξιοῦντες ὑπὲρ πάντων τῶν* Βοιωτῶν *ὀμνύναι.* 4. *λέων, ὑτ ἐπιτίθεσθαι μέλλων, ἐπειδὴ ὁ ὗς ἔδειξεν ἑαυτὸν ἀντιφρίξαντα, διέκρινεν ὡς* [that] *φευκτέον εἴη.* 5. *ἐθιστέον ἐστὶν ὑμῖν τὸ σῶμα*

σὺν πόνοις καὶ ἱδρῶτι, ὥστε ῥωννύναι αὐτό. 6. *πειρατέον ἐστὶ κατασβέσαι τὴν φλόγα.* 7. *ἀνοικτέον* [see *ἀνοίγνυμι*] *ἐστὶ τὰς πύλας, ὅπως ἂν οἱ στρατιῶται ἐξίωσιν.* 8. *οὐκ ἀνοικτέαι εἰσὶν αἱ πύλαι, μὴ οἱ προστάται τοῦ δήμου ἀποφυγῶσι.* 9. *παραγγελτέον ἐστὶ τοῖς στρατιώταις τὰ πυρὰ κατασβεννύναι πάντα.* 10. *δείξομεν ὑμῖν, ὅτι οὐ μεθεκτέα ἐστὶ τῶν πραγμάτων τοῖς πολλοῖς.*

1. We must impose a penalty, that we may show them [dat.] the reward of injustice. 2. The hemlock is not to be drunk: for it instantly congeals limbs. 3. We must not drink the wine, unless you mix it skilfully. 4. We must not give-up our allies to the Athenians, who, after-swearing [*ὄμνυμι*, aor. partic.] to leave them independent, did not leave them (so). 5. We must not allow traitors to destroy the city. 6. The despot, mingling-with the senators, said, that they must punish the leaders of the people. 7. We must show, that we ought to pursue temperance, and avoid intemperance. 8. We must enact laws, so-as to break the turbulent and the rapacious.

IDIOMS OF THE IMPERFECT AND AORIST.

RULE L.

The Imperfect signifies (*a*) what a man was in the habit of doing: as, *ἔπραττε Φιλίππῳ*, 'he was acting for Philip;' (*b*) what he was beginning or attempting to do: as, *ἐδίδων*, 'I was for giving,' i.e. 'I offered;' *οὐκ ἔλαθες ἀποδιδράσκων*, 'you were not unobserved

in your attempts to escape;' (*c*) what he continued doing: in which sense it is used as the *descriptive* tense of history, or narration; (*d*) the aorist, on the contrary, is used, in narration, to state facts, and momentary as opposed to continuous action: when it is often significantly interchanged with the present and imperfect, as stating a fact, while the two latter tenses paint a scene: e.g. *ὁ μὲν ἀνέβη, ἔπειτα δὲ οἱ ψιλοὶ ἀνέβαινον*, 'the one had mounted, and then the light troops began to mount.' (*e*) The aorist is also used, like the Latin perfect, in a frequentative sense, to denote what has happened habitually, though at indefinite times: on a tacit assumption that what has happened will happen again. In English we, in such cases, use the present: as, *ὅταν ἐκ πονηρίας τὶς ἰσχύσῃ, βραχὺ πταῖσμα ἅπαντα ἀνεχαίτισε*, 'whenever a man has gained power by crime, a slight stumble throws back everything.'

Exercise L.

Second Class of Verbs in Μι· *Middle and Passive Voices.*

1. *ἀποδείξομαι ὑμῖν, ὅτι πρῶτον μὲν πεντήκοντα ναῦς παρασκευάσασθαι* (*d*) *δεῖ, εἶτα τῶν ἤδη δεδογμένων ἔχεσθαι.* 2. *πολλάκις οἱ ὑδῖται ὑπὸ τῶν θηρίων ἀπώλλυντο* (*a*). 3. *Περικλέους στρατηγοῦντος, ἡ δημοκρατία ἀπώλλυτο* (*b*) [began to decline]. 4. *ἀπολομένης τῆς ἐλευθερίας, ἀπώλετο* (*d*) *τὸ κλέος τῶν Ῥωμαίων.* 5. *οἱ ξένοι, τρυφερῶς ἠμφιεσμένοι, ἡδέως συνόντες ἀλλήλοις, κατεκλίνοντο* (*a*). 6. *ἔδοξε τῇ ἐκκλησίᾳ τοὺς λιμένας ἀποχώσασθαι, καὶ εἰς πολιορκίαν παρασκευάζειν τὴν πόλιν.* 7. *ταύτῃ μὲν τῇ ἡμέρᾳ οἱ στρατιῶται, ἐρρωμένοι ἤδη, ἀνεχώρουν* (*c*) *τῆς πόλεως,*

σὺν πόνοις καὶ ἱδρῶτι, ὥστε ῥωννύναι αὐτό. 6. *πειρατέον ἐστὶ κατασβέσαι τὴν φλόγα.* 7. *ἀνοικτέον* [see *ἀνοίγνυμι*] *ἐστὶ τὰς πύλας, ὅπως ἂν οἱ στρατιῶται ἐξίωσιν.* 8. *οὐκ ἀνοικτέαι εἰσὶν αἱ πύλαι, μὴ οἱ προστάται τοῦ δήμου ἀποφυγῶσι.* 9. *παραγγελτέον ἐστὶ τοῖς στρατιώταις τὰ πυρὰ κατασβεννύναι πάντα.* 10. *δείξομεν ὑμῖν, ὅτι οὐ μεθεκτέα ἐστὶ τῶν πραγμάτων τοῖς πολλοῖς.*

1. We must impose a penalty, that we may show them [dat.] the reward of injustice. 2. The hemlock is not to be drunk: for it instantly congeals limbs. 3. We must not drink the wine, unless you mix it skilfully. 4. We must not give-up our allies to the Athenians, who, after-swearing [*ὄμνυμι*, aor. partic.] to leave them independent, did not leave them (so). 5. We must not allow traitors to destroy the city. 6. The despot, mingling-with the senators, said, that they must punish the leaders of the people. 7. We must show, that we ought to pursue temperance, and avoid intemperance. 8. We must enact laws, so-as to break the turbulent and the rapacious.

IDIOMS OF THE IMPERFECT AND AORIST.

RULE L.

The Imperfect signifies (*a*) what a man was in the habit of doing: as, *ἔπραττε Φιλίππῳ*, 'he was acting for Philip;' (*b*) what he was beginning or attempting to do: as, *ἐδίδων*, 'I was for giving,' i.e. 'I offered;' *οὐκ ἔλαθες ἀποδιδράσκων*, 'you were not unobserved

in your attempts to escape;' (*c*) what he continued doing: in which sense it is used as the *descriptive* tense of history, or narration; (*d*) the aorist, on the contrary, is used, in narration, to state facts, and momentary as opposed to continuous action: when it is often significantly interchanged with the present and imperfect, as stating a fact, while the two latter tenses paint a scene: e.g. *ὁ μὲν ἀνέβη, ἔπειτα δὲ οἱ ψιλοὶ ἀνέβαινον*, 'the one had mounted, and then the light troops began to mount.' (*e*) The aorist is also used, like the Latin perfect, in a frequentative sense, to denote what has happened habitually, though at indefinite times: on a tacit assumption that what has happened will happen again. In English we, in such cases, use the present: as, *ὅταν ἐκ πονηρίας τὶς ἰσχύσῃ, βραχὺ πταῖσμα ἅπαντα ἀνεχαίτισε*, 'whenever a man has gained power by crime, a slight stumble throws back everything.'

Exercise L.

Second Class of Verbs in Μι· *Middle and Passive Voices.*

1. *ἀποδείξομαι ὑμῖν, ὅτι πρῶτον μὲν πεντήκοντα ναῦς παρασκευάσασθαι* (*d*) *δεῖ, εἶτα τῶν ἤδη δεδογμένων ἔχεσθαι.* 2. *πολλάκις οἱ ὑδῖται ὑπὸ τῶν θηρίων ἀπώλλυντο* (*a*). 3. *Περικλέους στρατηγοῦντος, ἡ δημοκρατία ἀπώλλυτο* (*b*) [began to decline]. 4. *ἀπολομένης τῆς ἐλευθερίας, ἀπώλετο* (*d*) *τὸ κλέος τῶν Ῥωμαίων.* 5. *οἱ ξένοι, τρυφερῶς ἠμφιεσμένοι, ἡδέως συνόντες ἀλλήλοις, κατεκλίνοντο* (*a*). 6. *ἔδοξε τῇ ἐκκλησίᾳ τοὺς λιμένας ἀποχώσασθαι, καὶ εἰς πολιορκίαν παρασκευάζειν τὴν πόλιν.* 7. *ταύτῃ μὲν τῇ ἡμέρᾳ οἱ στρατιῶται, ἐρρωμένοι ἤδη, ἀνεχώρουν* (*c*) *τῆς πόλεως,*

τῇ δὲ ὑστεραίᾳ αἱ νῆες ἐξέπλευσαν. 8. τῇ μὲν πρώτῃ τῶν πολεμίων ἐμβολῇ ἐσκεδάννυντο οἱ ἱππεῖς, ὕστερον δὲ ἀναστραφέντες ἐπεκράτησαν. 9. τοὺς μὲν πελταστὰς ἐδέξαντο (*d*) οἱ βάρβαροι, καὶ ἐμάχοντο (*b*) [began fighting]· ἐπεὶ δὲ ἐγγὺς ἦσαν οἱ ὁπλῖται, ἐσκεδασμένοι ἐτράποντο (*d*). 10. οἱ Ἀθηναῖοι, αἰσθόμενοι τοὺς ἐναντίους βουλομένους ἀποφράξασθαι αὐτούς, ἐπεξῆγον (*b*) τὸ κέρας.

1. The heron, flying from the sea, means (*e*) [αἰνίττομαι, 1 aor.] that rain will instantly burst-forth [ῥήγνυμι, 2 fut. pass. infin.] from heaven. 2. First twelve light-troops, (consisting) of strong-men [ῥώννυμι, perf. mid. partic.], began (*a*)-to-mount, whom Philip leading mounted (*d*) first. 3. Unless, in-trying (*b*)-to-escape [φεύγω, imperf. partic.] you escape (*d*) [2 aor.] into another country, you will-be-likely [κινδυνεύω] to be murdered. 4. Those trying (*b*)-to-betray their country, those trying (*b*)-to-destroy the constitution, and to-change [μεθίστημι, partic. imperf.] it into oligarchy, are-extinguished (*d*) [κατασβέννυμι, 1 aor. pass.]. 5. Those openly doing-wrong meet (*e*)-with [τυγχάνω, 2 aor.] forgiveness, while [δέ] those seeming to be-affluent are-ruined (*e*) [ἀπόλλυμι, 2 aor. mid.] at-once. 6. Many suitors fall-in-love (*e*) [ἐπιθυμέω, aor.] with beauty [gen.], before they know (*e*) [aor.] the disposition: and-so [ὥστε] it is uncertain, if they will still incline to be lovers, when beauty has been extinguished [1 aor. pass. conj.]. 7. The King at-once belied (*d*) what he had sworn [ὄμνυμι, 1 aor. mid.]. 8. They will be happy, who shall clothe-themselves with virtue [accus.] as with a robe: for virtue always blooms (*e*) with [ἐπί, dat.] good fortunes [πρᾶξις].

MISCELLANEOUS PASSAGES.

[For the Irregular Verbs, occurring in the following passages, see P. pp. 91–97: A. pp. 121–128; C. pp. 101–111.]

N.B. Forms of irregular Verbs, when fully explained in the Notes to the following Passages, will not be given in the Vocabulary, unless they occur in the preceding Exercises.

I.

The Porcupine.

Ὀνύχων καὶ ὀδόντων ἀκμαῖς θαρροῦσι καὶ ἄρκτοι καὶ λύκοι καὶ λέοντες· τὴν δὲ ὕστριχα ἀκούω ταῦτα μὲν οὐκ ἔχειν, οὐ μὴν ὅπλων ὑπὸ τῆς φύσεως ἀμυντηρίων ἀπολελεῖφθαι ἐρήμην· τοῖς γοῦν ἐπιοῦσιν ἐπὶ λύμῃ τὰς ἄνωθεν τρίχας οἱονεὶ βέλη ἐκπέμπει, καὶ εὐστόχως βάλλει πολλάκις, τὰ νῶτα φρίξασα.

II.

Leonidas and the Three Hundred.

Ὁ Λεωνίδης ὁ Λακεδαιμόνιος καὶ οἱ μετ' αὐτοῦ τριακόσιοι τὸν μαντευόμενον αὐτοῖς θάνατον εἵλοντο ἐν Πύλαις, καὶ ὑπὲρ τῆς Ἑλλάδος εὖ καὶ καλῶς ἀγωνισάμενοι τέλους ἔτυχον εὐκλεοῦς, καὶ δόξαν ἑαυτοῖς ἀθάνατον ἀπέλιπον καὶ φήμην ἀγαθὴν δι' αἰῶνος.

III.

The Jackal.

Λέγουσι τὸν θῶα φιλανθρωπότατον εἶναι· καὶ ὅταν μὲν περιτύχῃ ἀνθρώπῳ, ἐκτρέπεται αὐτόν, οἷον αἰδού-

μενος· ὅταν δὲ ἀδικούμενον θεάσηται ὑπ' ἄλλου θηρίου, τηνικαῦτα ἐπαμύνει αὐτῷ.

IV.

Socrates.

Ὁρῶν ὁ Σωκράτης τὸν Ἀλκιβιάδην τετυφωμένον ἐπὶ τῷ πλούτῳ καὶ μέγα φρονοῦντα ἐπὶ τῇ περιουσίᾳ καὶ ἔτι πλέον ἐπὶ τοῖς ἀγροῖς, ἤγαγεν αὐτὸν εἴς τινα τῆς πόλεως τόπον ἔνθα ἀνέκειτο πινάκιον ἔχον γῆς περίοδον, καὶ προσέταξε τῷ Ἀλκιβιάδῃ τὴν Ἀττικὴν ἐνταῦθα ἀναζητεῖν· ὡς δὲ εὗρε, προσέταξεν αὐτῷ τοὺς ἀγροὺς τοὺς ἰδίους διαθρῆσαι· τοῦ δὲ εἰπόντος 'Ἀλλ' οὐδαμοῦ γεγραμμένοι εἰσίν,' 'ἐπὶ τούτοις οὖν,' εἶπε, 'μέγα φρονεῖς, οἳ οὐδὲν μέρος τῆς γῆς εἰσιν;'

V.

The Peacock.

Ὁ ταῶς οἶδεν ὀρνίθων ὡραιότατος ὤν, καὶ ἔνθα αὐτῷ τὸ κάλλος κάθηται εὖ εἰδὼς ἐπ' αὐτῷ κομᾷ, καὶ σοβαρός ἐστι, καὶ θαρρεῖ τοῖς πτέροις, ἅπερ οὖν αὐτῷ καὶ κόσμον περιτίθησι, καὶ πρὸς τοὺς ἔξωθεν φόβον ἀποστέλλει, καὶ ἐν ὥρᾳ θερινῇ σκέπην παρέχεται. ἐὰν γοῦν θελήσῃ φοβῆσαί τινα, ἐγείρας τὰ οὐραῖα εἶτα διεσείσατο καὶ ἀπέστειλεν ἦχον, καὶ ἔδεισαν οἱ παρεστῶτες, ὡς τὸν ἐκ τῶν ὁπλίτου ὅπλων πεφοβημένοι δοῦπον. καὶ ἔοικεν ἀνθηρῷ λειμῶνι, ἢ γραφῇ πεποικιλμένῃ πολυχροίᾳ.

VI.

The Bear.

Σοφὰ δὲ ἄρκτου ἦν ἄρα ἐκεῖνα. ἐὰν διώκηται μετὰ τῶν αὐτῆς σκυλακίων, προωθεῖ αὐτὰ εἰς ὅσον δύναται· ὅταν δὲ συνίδῃ ὅτι ἀπεῖπε, τὸ μὲν ἐπὶ τῷ νώτῳ φέρει,

τὸ δὲ κατὰ τοῦ στόματος, καὶ δένδρου λαβομένη ἀναπηδᾷ· καὶ τὸ μὲν ἔχεται τοῦ νώτου τοῖς ὄνυξι, τὸ δὲ τοῖς ὀδοῦσι φέρεται ἀναθεούσης αὐτῆς. Ταύρῳ δὲ λιμώττουσα ὅταν ἐντύχῃ, κατὰ μὲν τὸ καρτερὸν οὐ μάχεται, προσπαλαίει δέ, καὶ τοῦ τένοντος λαβομένη κλίνει καὶ σφίγγει· ὁ δὲ πιέζεται καὶ μέμυκε, καὶ τελευτῶν ἀπεῖπε καὶ κεῖται, καὶ ἐκείνη ἐμπίμπλαται.

VII.

Pindar.

Πίνδαρος ὁ ποιητὴς, ἀγωνιζόμενος ἐν Θήβαις, ἀμαθέσι περιπεσὼν ἀκροαταῖς, ἡττήθη Κορίννης πεντάκις· ἐλέγχων δὲ τὴν ἀμουσίαν αὐτῶν σὺν ἐκάλει τὴν Κόρινναν.

VIII.

The Wolf and the Lion.

Λύκος ποτὲ ἄρας πρόβατον ἐκ ποιμνίου, ἐκόμιζεν αὐτὸ εἰς τὴν κοίτην· λέων δὲ αὐτῷ συναντήσας ἀφείλετο τὸ πρόβατον. ὁ δὲ λύκος πόρρωθεν ἑστηκὼς εἶπεν· 'ἀδίκως ἀφείλου τὸ ἐμόν.' Ὁ δὲ λέων γελάσας ἔφη· 'σοὶ γὰρ δικαίως ὑπὸ φίλου ἐδόθη;'

IX.

The Swan.

Κύκνου ἤθη καὶ διατριβαὶ λίμναι τε καὶ ἕλη καὶ τενάγη καὶ ἀέναοι ποταμοὶ πράως καὶ ἡσυχῇ ῥέοντες· εἰρηναῖοι δέ εἰσι καὶ εἰς γῆρας προΐασιν ἑαυτοῖς κοῦφον. εἰσὶ δὲ καὶ εἰς ῥώμην ἄλκιμοι, καὶ θαρροῦσιν αὐτῇ, οὐ μὴν ὥστε ἄρχειν ἀδίκων ἔργων ἀλλ' ἀμύνεσθαι τὸν ἄρξαντα. ῥᾴδιως οὖν καὶ τῶν ἀετῶν περιγίγνονται, ὅταν ἐκεῖνοι τολμήσωσιν ἐπιθέσθαι αὐτοῖς.

X.

The Ass in the Lion's Skin.

Ὄνος, ἐνδυσάμενος λέοντος δέρμα, περιῄει ἐκφοβῶν τὰ ἄλογα ζῶα· καὶ δὴ θεασάμενος ἀλώπεκα ἐπειρᾶτο καὶ ταύτην ἐκφοβῆσαι· ἡ δέ, ἐτύγχανε γὰρ αὐτοῦ φθεγξαμένου ἀκηκουῖα, ἔφη πρὸς αὐτόν· 'ἀλλ' εὖ ἴσθι, ὡς καὶ ἐγὼ ἄν σε ἐφοβήθην, εἰ μὴ ὀγκωμένου ἤκουσα.'

XI.

The Apes of India.

Λέγουσι πιθήκων ἐν Ἰνδοῖς εἶναι γένη ποικίλα τὴν χρόαν, μεγέθει δὲ μέγιστα· ἐν δὲ τοῖς ὀρεινοῖς χωρίοις τοσοῦτον αὐτῶν τὸ πλῆθος εἶναι, ὥστε Ἀλέξανδρον τὸν Φιλίππου καὶ πάνυ καταπλαγῆναι σὺν καὶ τῇ οἰκείᾳ δυνάμει, οἰόμενον ἀθρόους ἰδόντα στρατιὰν ὁρᾶν συνειλεγμένην καὶ ἐλλοχῶσαν αὐτόν. ὀρθοὶ δὲ ἄρα ἦσαν οἱ πίθηκοι κατὰ τύχην τινὰ ὅτε ἐφάνησαν.

ἔστι δὲ τὸ ζῶον ὀρχηστικόν, εἰ θεῷτό τινα ὀρχούμενον· καὶ θέλει γε αὐλεῖν, εἰ καταπνεῖν μάθοι. πρὸς τούτοις, εἰ θεάσαιτό τινα ὑποδήματα τοῖς ποσὶ περιτιθέντα, μιμεῖται τὴν ὑπόδεσιν.

XII.

A Sybarite's Opinion of Sparta.

Λέγουσιν ἄνδρα Συβαρίτην ἐπιδημήσαντα τῇ Σπάρτῃ καὶ συνεστιαθέντα ἐν τοῖς φιδιτίοις εἰπεῖν· 'εἰκότως ἀνδρειότατοί εἰσιν πάντων οἱ Λακεδαιμόνιοι· ἕλοιτο γὰρ ἄν τις εὖ φρονῶν μυριάκις ἀποθανεῖν ἢ οὕτως εὐτελοῦς διαίτης μεταλαβεῖν.

XIII.

Sophocles.

Ἔχαιρεν ὁ Σοφοκλῆς τῷ ἐπικῷ κύκλῳ· ὥστε καὶ ὅλα δράματα ποιῆσαι κατακολουθῶν τῇ ἐν τούτῳ μυθοποιΐᾳ.

XIV.

Leotychidas.

Ὄφεως περὶ κλεῖδα ἑλιχθέντος καὶ τῶν μαντέων ἀποφαινομένων τέρας εἶναι, ὁ Λεωτυχίδας ἔφη· ἔμοιγε οὐ δοκεῖ· ἀλλ' εἰ ἡ κλεὶς περὶ τὸν ὄφιν εἱλίχθη, τότε τέρας ἂν ἦν.

XV.

Aristippus.

